ΣΟΦΙΣΤΗΣ

Ἐγὼ μὲν σὲ παίζειν δοκῶ.

ΛΟΥΚΙΑΝΟΣ

Ἐγὼ δὲ <σὲ> ἀγνοεῖν τὸν ἁμαρτάνοντα ἐν τοῖς λόγοις.

ΣΟΦΙΣΤΗΣ

Καὶ πῶς ἄν τις μάθοι μηδενὸς εἰρημένου;

ΛΟΥΚΙΑΝΟΣ

Λέλεκται καὶ σεσολοίκισται τετραπλῇ, σὺ δ' οὐκ ἔγνως. μέγα οὖν ἆθλον κατέπραξας ἄν, εἴπερ ἔγνως.

ΣΟΦΙΣΤΗΣ

Οὐ μέγα μέν, ἀναγκαῖον δὲ τῷ ὁμολογήσαντι.

ΛΟΥΚΙΑΝΟΣ

Ἀλλ' οὐδὲ νῦν ἔγνως.

ΣΟΦΙΣΤΗΣ

Πότε νῦν;

ΛΟΥΚΙΑΝΟΣ

Ὅτε τὸ ἆθλον ἔφην σε καταπρᾶξαι.

ΣΟΦΙΣΤΗΣ

Οὐκ οἶδα ὅ τι λέγεις.

ΛΟΥΚΙΑΝΟΣ

Ὀρθῶς ἔφης· οὐ γὰρ οἶσθα. καὶ πρόϊθί γε ἐς τὸ ἔμπροσθεν· οὐ γὰρ ἐθέλεις ἕπεσθαι, συνήσων ἄν, εἴπερ ἐθελήσειας.

ΣΟΦΙΣΤΗΣ

3 Ἀλλ' ἐγὼ βούλομαι· σὺ δ' οὐδὲν εἶπας ὧν ἄνθρωποι σολοικίζοντες λέγουσιν.